UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Strategio Scholastico. 179.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τοῦτο μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν αὐτοὺς ἐκδιδάσκει. ἵνα γάρ φησι, γνῶσιν οἱ ζῶντες, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν οὐρανῶν.

ille non hoc duntaxat, sed etiam causam ipsis exponit. Vt cognoscant, inquit, ij qui viuũt, quòd altissimus cælestis regni principatum tenet.

### Ἑρμογένει ἐπισκόπῳ. ροη.

Οἶδα μὲν ὅτι οὐ δεινότητα λόγων ἐπιδεικνύμενος, οὐδὲ τὴν ἀπ' αὐτῆς θηρώμενος δόξαν, ἐπὶ τὸ παραινέσαι τοῖς περὶ Ζώσιμον καὶ Παλλάδιον καὶ Μάρωνα, ἀλλ' ἀπὸ εὐνοίας καὶ φιλοστοργίας ὥρμησας. εἰ δ' αὐτοὶ παρὰ πάντων ἐκκωμῳδούμενοι, ὡς παρὰ μόνου σοῦ νομίζοντες κεκωμῳδῆσθαι, δυσκόλως ἔχουσι πρὸς σέ, μὴ δείσῃς. ἔχεις γὰρ τὴν θείαν συμμαχίαν, σοῦ μὲν ὑπερασπίζουσαν, ἐκείνους δὲ ἀμυνομένην.

### *Hermogeni Episcopo.* 178.

Scio te non eloquentiæ ostentandæ studio, nec vt hinc gloriam aucuperis, ad Zosimum & Palladium & Maronem admonendos te contulisse: verùm beneuolentia & charitate ductum hanc operam suscepisse. Quòd si illi, cùm ab omnibus sugillentur, tamen à te solo sugillari se existiment, ac proinde aduersum te stomachentur, ne timeas. Diuinum enim auxilium habes, quod & tuas partes tueatur, & illos vlciscatur.

### Στρατηγίῳ σχολαστικῷ. ροθ.

Ἡ τῶν δικαίων παῤῥησία ἡ ὑπὲρ τῆς ἰδίας δικαιοσύνης, οὐκ ἀπὸ μεγαληγορίας, ὦ θαυμάσιε, ἐτέχθη, ἀλλ' ὑπ' ἀνάγκης. αὕτη γὰρ ὑπὲρ τοῦ μὴ δοκεῖν αὐτοὺς δικαίως πάσχειν, εἰς ταύτην αὐτοὺς ἐλθεῖν ἐξεβιάσατο. οὐδεὶς γοῦν αὐτῶν ἐν ἀνέσει ὢν, τοιαύτας ἔῤῥηξε φωνάς. ἀλλ' ὁ μὲν, γῆν, ὁ δὲ σποδὸν, ὁ δὲ σκώληκα ἑαυτὸν ἀπεκάλεσεν. ἐν δ' ἀμηχάνοις ἀπολειφθεὶς πειρασμοῖς, τὸν οἰκεῖον ἠναγκάσθη ἐκφράσαι βίον, ἵνα μὴ δόξειεν πονηρῶν ἕνεκεν πραγμάτων πάσχειν. δεδοικότες γὰρ τὸ πονηρὸν παρὰ πολλοῖς ἀνοήτοις, ἀφ' ὧν ἔπασχον κτήσασθαι δόξαν, μᾶλλον δὲ καὶ ὀνειδισθέντες ὡς δι' ἁμαρτίαν πάσχοντες, εἰς ταῦτα ἐξεβιάσθησαν, ὡς ἔφην, ἐλθεῖν τὰ ῥήματα. οἱ γὰρ νοῦ καὶ φρονήσεως ἀμοιροῦντες, ἀπὸ τῶν συμφορῶν κατὰ τόνδε τὸν βίον συμπιπτουσῶν, καὶ βίον διαβάλλειν εἰώθασιν, ὅπερ καὶ οἱ φίλοι τῷ γενναίῳ ἔφραζον Ἰὼβ, οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι. καὶ τὸν ἅγιον δὲ Παῦλον, ἀνδροφόνον τινὰ, καὶ κακοῦργον ᾤοντο εἶναι, οἱ τὴν ἔχιν ἐκκρεμαμένην αὐτοῦ τῆς χειρὸς θεα-

### *Strategio Scholastico.* 179.

Libertas ea loquendi, qua iusti viri pro iustitia sua vsi sunt, vir admirande, non à fastu atque arrogãtia, sed à necessitate nata est. Hæc enim, ne iustè incommodis affici viderentur, huiusmodi voces ab iis expressit. Neque enim quisquam ipsorum, dum à calamitatibus immunis fuit, in eiusmodi voces erupit: verùm alius terram, alius cinerem, alius vermen se appellauit. At in grauissimis tentationibus derelictis, ne ob improbas & sceleratas actiones calamitatibus premi viderẽtur, vitam suam exponere necesse habuerunt. Nam cùm metuerent, sinistram apud stolidos homines, ob ea quæ perpetiebantur, existimationem, colligerent, imò etiam, tanquam ob scelus perpetientes, probris atque cõuitiis incesserentur, ad hæc, vt dixi, verba venire coacti sunt. Etenim qui mentis ac prudentiæ expertes sunt, ab iis calamitatibus, quæ in hac vita occurrunt, vitæ quoque criminandæ occasionem trahere consueuerunt. Quo scilicet in genere illud est quod amici Iob ad egregium illum ac virtute præstantem virum dicebant, Lenioribus, quàm pro peccatorum tuorum merito, flagris affectus es. Eodémque modo

sanctum Paulum grassatorem quędam & facinorosum hominem esse Barbari illi putabant, qui viperam de ipsius manu pendentem conspexerant. Vnde etiam his verbis vtebantur: Prorsus homicida est homo hic, quem ereptum è mari vltio nō sinit viuere. Quin Semei quoque, ille inquam petulanti lingua præditus, Psalmistam, cùm à filio vexaretur, homicidam appellabat, ob ipsius nimirùm calamitatem, ad improbam hanc de ipso sententiam ferendam adductus. Quæ cùm ita sint, noli tu quoque committere, vt eos omnes, qui in calamitatibus versantur, condemnes: verùm ita existima, nonnullos etiam esse, qui adipiscendarum coronarum causa perpetiantur. Quòd si admiratione afficeris, atque addubitas, hāc sententiam tibi è cælo feremus. Quidnam igitur ad discipulos suos ait ille, qui rerum omnium imperium obtinet? In mundo pressuram habebitis. Atque ad Iob etiam dictum est: An putas me aliam ob causam oraculum edidisse, quàm vt iustus appareas? Verè enim quem Deus amat castigat: & corripit omnem filium quem recipit. Neque id sanè absurdum videri debet. Nam etiam Regum amici ipsi sunt, qui in bellis maximè periclitantur, & vulneribus afficiuntur, & peregrinationes suscipiunt: Eáque præsertim sunt, quæ fiduciam ipsis & authoritatem apud Regem conciliant, atque vt iam cum eo, qui superiorem dignitatis locum obtinet, tanquam cum eo, qui eiusdem gradus sit, vtantur, efficit. Ea quippe quæ corpore gerunt, vulnera, amicitiæ pignora habent. Quòd si dixeris, Quid igitur est, quòd quidam ob eam causam animis offenduntur ac deiiciuntur? hoc responderim, id ab eorum amentia proficisci, non ab ipsius rei natura. Neque enim hîc est laborum præmium: verùm hîc quidem certamina, postea autem præmia. Quamobrem in certaminum tempore requiem, animique oblectamentum minimè quærant, nec tempora cōfundant. At imbecillior ego sum, fortasse dixeris. Verùm tibi quoque prospexit Deus, atque & in impro-

σάμενοι βάρβαροι. διὸ καὶ ἔλεγον, πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε. καὶ ὁ Σεμεεὶ δὲ ὁ ἀθυρόγλωττος ἐκεῖνος ἀνὴρ, ἀνδροκτόνον τὸν μελῳδὸν ἀπεκάλει, διωκόμενον ὑπὸ τοῦ υἱοῦ, ἀπὸ τῆς συμφορᾶς, τὴν πονηρὰν ταύτην περὶ αὐτοῦ φέρων ψῆφον. μὴ τοίνυν μηδ' αὐτὸς πάντων καταψηφίζου τῶν ἐν συμφοραῖς. ἀλλὰ τινὰς νόμιζε, καὶ διὰ στεφάνους ὑπομένειν. εἰ δὲ θαυμάζεις καὶ διαπορεῖς, τὴν ψῆφον σου ταύτην ἐκ τοῦ οὐρανοῦ οἴσομεν. τί οὖν ἔφη ὁ πάντων τὸ κράτος ἀνημμένος τοῖς οἰκείοις φοιτηταῖς, ἐν τῷ κόσμῳ τὴν θλίψιν ἕξετε. καὶ τῷ Ἰὼβ δὲ ἐρρέθη, οἴει με ἄλλως κεχρηματικέναι, ἢ ἵνα μὴ ἀναφανῇς δίκαιος. ὄντως γὰρ ὃν ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. καὶ οὐδὲν ἀπεικός. οἱ γὰρ τῶν βασιλέων φίλοι, οὗτοι μάλιστα παρακινδυνεύουσιν ἐν τοῖς πολέμοις, καὶ τραύματα ἔχουσι, καὶ ἀποδημίας στέλλονται. καὶ ταῦτά ἐστι μάλιστα τὰ ποιοῦντα αὐτοὺς παρρησίαν ἔχειν πρὸς τὸν βασιλέα, καὶ ὡς ὁμοτίμῳ λοιπὸν τῷ ὑπεραναβεβηκότι κεχρῆσθαι. ἔχουσι γὰρ τὰ ἐν τοῖς σώμασι τραύματα, τῆς φιλίας ἐνέχυρα. εἰ δὲ φαίης, τί οὖν πρὸς τοὺς ὑποσκελιζομένους διὰ ταῦτα; φαίην, ὅτι τοῦτο παρὰ τὴν ἄνοιαν αὐτῶν γίγνεται, καὶ οὐ παρὰ τὴν τοῦ πράγματος φύσιν. οὐ γὰρ ἐνταῦθα ἡ ἀντίδοσις τῶν πόνων. ἀλλὰ τὰ μὲν ἐνταῦθα ἆθλα. τὰ δὲ μετὰ ταῦτα ἔπαθλα. μὴ ζητήτωσαν τοιγαροῦν ἐν τῷ καιρῷ τῶν ἀγώνων τὴν ἄνεσιν, μηδὲ συγχεέτωσαν τοὺς καιρούς. ἀλλ' ἀσθενέστερος φαίης ἂν ἴσως εἰμὶ, ἀλλὰ καὶ σοῦ προενόησεν ὁ θεὸς, καὶ ἀπήτησε πολλοὺς καὶ τῶν πονηρῶν δίκας ἐνταῦθα, καὶ τῶν δικαίων ἠμείψατο τινάς. ὥστε εἰ σκανδαλίζουσί σε οἱ ἐν θλίψει τῶν δικαίων, οἰκοδομήτωσάν σε οἱ ἐν ἀνέσει καὶ τιμῇ. καὶ εἰ ὑποσκελίζου-

λίζουσί σε οἱ ἐν εὐπραγίᾳ τῶν πονηρῶν. ὀρθούτωσάν σε οἱ ἐν κολάσει καὶ τιμωρίᾳ.

### Παλλαδίῳ. ρπ.

Ὅτι μὲν οὐδεπώποτε ὅπου περὶ τῆς θείας θρησκείας εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδ' ἀναισχυντεῖν ἐδόξαμεν, ἀλλ' ἁπάντων κρατοῦμεν καὶ περιέσμεν τῷ λόγῳ, παντί που δῆλον. ὅτι δὲ πάντες, οὐχ οἷς λέγομεν, ἀλλ' οἷς πράττομεν προσέχουσι, καὶ ἀπὸ τούτων φέρουσι τὴν ψῆφον, καὶ εἰ μὴ φανερῶς, ἀλλὰ κατὰ γνώμην μετ' ἐξουσίας ἀποφαίνονται· καὶ τοῦτο εἰδέναι χρή. οὐκοῦν χρὴ σύνδρομον τῷ λόγῳ ἔχειν τὸν βίον, καὶ συμβαίνουσαν τῷ δόγματι τὴν πολιτείαν, ἵνα μὴ λόγοις νικῶντες, τοῖς πράγμασιν ἡττώμεθα.

### Διδύμῳ πρεσβυτέρῳ. ρπα.

Ἔοικας ἐπιλελῆσθαί μου τῶν ἐντολῶν· ἐγὼ δὲ οὐκ ἐπελαθόμην τῆς πρὸς σὲ διαθέσεως. ἐπιλήσομαι δὲ εἰ ἀκριβῶς μάθοιμι ἐκ προνοίας καὶ σπουδῆς, ἀλλὰ μὴ ἐξ ἀπάτης καὶ περιστάσεως εἰς τοὺς φίλους πεπαρῳνηκέναι.

### Τῷ αὐτῷ. ρπδ.

Εἰ μὲν ἀληθῆ ἐστὶ τὰ ἀπαγγελθέντα, οἶμαί σοι ἀπολογίαν δικαίαν μὴ ὑπολελεῖφθαι. ζητήσεις μὲν γὰρ ἴσως, οὐχ εὑρήσεις δέ. εἰ δὲ ψευδῆ, μήνυε ἵν' εἰς ἀπολογίας ἀνάγκην τοὺς καταμηνύσαντας περιστήσωμεν. καὶ ἀπολογουμένους μὲν δεξώμεθα. τοῦτο δὲ μὴ ποιοῦντας, τῆς ἑαυτῶν συνουσίας ἐξοστρακίσωμεν.

bos multos hîc animaduertit, & nonnullis item probis viris vicem rependit. Quare si tibi iusti, qui in calamitate sunt, offensionem afferunt, fac te ij confirment, qui quiete atque honore fruuntur. Ac rursum si te improbi illi, quibus omnia secunda sunt, deiiciunt, erigant te illi, qui in pœna & cruciatu versantur.

### *Palladio.* 180.

Quod, vbi de diuina religione verba habenda fuerint, nunquam superati fuerimus, nec impudentiæ opinionem contraxerimus, verùm omnes sermone ac disputatione vincamus, ac profligemus, cuilibet perspicuum est. Quòd autem omnes ad ea, quæ facimus, non ad ea quæ dicimus, animum adiiciant, atque ab his sententiã ferant, ac si non apertè, animo saltem & cogitatione, liberè ac pro potestate pronuncient, id quoque scire oportet. Quocirca curandum nobis est, vt vitam sermonis comitem, ac muneris nostri administrationem, fidei, quam profitemur, consentaneam habeamus, ne alioqui sermonibus vincentes, rebus superemur.

### *Didymo Presbytero.* 181.

Mandatorum meorum memoriam abiecisse videris: ego autem meæ erga te beneuolentiæ obliuione minimè affectus sum. Afficiar autem, si illud cognitum & exploratum habuero, te dedita opera ac de industria, non autem errore quodam & casu in amicos debacchatum esse.

### *Eidem.* 182.

Si vera sunt quæ ad nos allata sunt, nullam tibi iustam excusationem relictam esse arbitror. Vt enim fortasse quæras, haud tamen inuenies. Si autem falsa, fac sciam: vt eos, qui hæc detulerunt, ad tibi satisfaciendi necessitatem adigamus, atque id quidem facientes suscipiamus, facere autem recusantes à nostro cœtu submoueamus.